**0345-0407 - Iohannes Chrysostomus - In pentecosten Sermo 2**

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright. On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site. Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality, serial number '2062 108 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances. Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In pentecosten Sermo 2

[00001] ἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀἀ

52.807

[00002] Ἐπεφοίτησεν ἡ τοῦ Πνεύματος χάρις·

[00003] ἀληθὴς γὰρ ὁ τὴν δωρεὰν τοῦ Πνεύματος ὑποσχόμενος.

[00004] Ἐπεδήμησεν ὁ Παράκλητος ὁ παρὰ τοῦ Δεσπότου Χριστοῦ κηρυττόμενος·

[00005] ἀψευδὴς γὰρ ὁ τὴν ἄφιξιν προμηνύσας, οὐ δοῦλος δούλου παρουσίαν προλέγων, ἀλλὰ Δεσπότης ὁμοτίμου Δεσπότου γενόμενος μηνυτής, καὶ διδάσκαλος ἀγαθὸς, ἀγαθῷ παραχωρῶν διδασκάλῳ, μᾶλλον δὲ συμπαρόντι παρὼν καὶ συνανιὼν ἀνιόντι, καὶ συγκατιὼν ἐρχομένῳ.

[00006] Ἀδιαίρετος γὰρ τῆς Τριάδος ἡ χάρις·

[00007] καὶ οὔτε ἀναβὰς ἀπέστη, οὔτε ἐρχόμενος οὐ παρῆν.

[00008] Ἀλλ' ἀνῆλθεν ὡς ἄνθρωπος ὁ Θεὸς Λόγος, καὶ πάρεστι·

[00009] κατῆλθε δὲ ὁ Παράκλητος, καὶ τοὺς οὐρανοὺς οὐ κατέλιπεν·

[00010] ἀλλὰ σὺν τῷ Πατρὶ βασιλεύει, καὶ τὴν γῆν καταυγάζει, καὶ τὴν οἰκονομίαν ἐπλήρωσε, καὶ γένη γλωσσῶν τοῖς ἀποστόλοις ἀπέστειλε·

[00011] καὶ φωνῆς μέγεθος ἐξαίφνης ἠκούετο, καὶ βιαίας αὔρας ἦχος ἀπετελεῖτο, καὶ βροντῆς τύπον ἡ τοῦ Πνεύματος ἄφιξις ἐμιμεῖτο·

[00012] ἐπὶ γὰρ τοὺς υἱοὺς τῆς βροντῆς περιεγίνετο.

[00013] Καὶ ὤφθησαν αὐτοῖς διαμεριζόμεναι γλῶσσαι ὡσεὶ πυρός·

[00014] καὶ ἦν τὸ φαινόμενον φοβερὸν, τὸ δὲ γινόμενον ποθεινόν·

[00015] φλὸξ ἐφιζάνουσα, καὶ μὴ καίουσα, πῦρ ἐπικαθήμενον, καὶ μὴ φλέγον·

[00016] πῦρ τὴν ἐπουράνιον σοφίαν δωρούμενον, πῦρ εἰς ἀπείρους μεριζόμενον γλώσσας, πῦρ εἰς μυρίας ἰδέας ῥημάτων τεμνόμενον·

[00017] φλὸξ σοφιστεύειν τοὺς ἁλιέας διδάσκουσα, καὶ ῥήτορα τὸν σκυτοτόμον ἀπαρτίζουσα.

[00018] Μᾶλλον δὲ οὐδὲν τοσοῦτον οἱ σοφισταί.

[00019] Οἱ μὲν γὰρ ἑνός τινος ἦσαν ἔθνους διδάσκαλοι, οἱ δὲ τῆς οἰκουμένης γεγένηνται παιδευταί.

[00020] Καὶ Γαλιλαῖος ἀνὴρ τὰ Μήδων ἐφθέγγετο, καὶ τὰ τῶν Πάρθων ἐπίστατο, καὶ τὰ τῶν Ἐλαμιτῶν οὐκ ἠγνόει·

[00021] ἀλλ' εἶχεν ἐπὶ τοῦ στόματος πάσης εἰκόνας φωνῆς.

[00022] Καὶ οὐδεὶς αὐτῶν τῶν ἀκροατῶν ἐνόμιζε βάρβαρον, οὐδὲ ὡς νόθους τοὺς λόγους τῆς ἀκοῆς ἀπέφυγεν·

[00023] ἀλλ' ὡς παντὸς ἔθνους πολίτης ἠκούετο, πάσης τῆς οἰκουμένης γλῶτταν ἑαυτῷ περιφέρων, καὶ πρῶτον τοῦτον τῆς εὐσεβείας εἰλήφαμεν καρπόν.

[00024] Ἐπὶ μὲν γὰρ τῆς τοῦ πύργου κατασκευῆς τὰ τῆς φωνῆς ἐμερίσθη, καὶ τὰς ἀλλήλων ἠγνόησαν γλώττας οἱ ἄνθρωποι.

[00025] Ἔδει γὰρ [52.808] τῆς θεομάχου βουλῆς τὴν ὁμόνοιαν ἀγνωσίαις συναχθῆναι ῥημάτων, καὶ τοὺς κακῶς ἀλλήλοις συμπράξαντας τῇ τῆς γλώττης μεταβολῇ διαστῆναι, καὶ τῶν ἀλογίστων ἐγχειρημάτων λόγῳ τὴν πεῖραν λαβεῖν, καὶ μήτε λέγοντα λέγειν, μήτε ἀκούοντα συνιέναι, μηδὲ μάτην προσαπολλύναι τοὺς χρόνους.

[00026] Τί γάρ σοι τῆς ἀπονοίας τὸ κέρδος;

[00027] τί σοι τῆς μεγαλουργίας τὸ τέλος;

[00028] Τί τὸ ἀκατάληπτον βιάζῃ καταλαβεῖν;

[00029] Τί τὸν οὐρανὸν ἁρπάζειν φιλονεικεῖς, ὁ μηδὲ τῆς γῆς ἄξιος ὢν ἀπολαύειν;

[00030] Τί μετεωρολογεῖς, ὁ μηδὲ τῆς τοῦ πλησίον φωνῆς ἐπακούων;

[00031] Μερίζω σοι τὴν φωνὴν, καὶ καταλύω τὴν πρᾶξιν, οὐ τὴν σὴν ἀνάβασιν δεδοικὼς, οὐδὲ ὑπὲρ τῆς ἐμοῦ βασιλείας φοβούμενος, ἀλλὰ σοῦ τοῦ μάτην πονοῦντος καὶ κοπτομένου κηδόμενος.

[00032] Οὐδὲ γὰρ λίθων οἰκοδομὴ, καὶ πολυχειρίᾳ συντιθέμενος πύργος εἰς οὐρανὸν ἀνάγειν πέφυκεν, ἀλλὰ ἅρματα θεογνωσίας, καὶ πολλοὶ δικαιοσύνης, καὶ φωτὸς καθαρώτερος βίος, καὶ πτέρυγες ἀρετῆς πρὸς ἐκείνην τὴν ὁδὸν ἀνάγουσιν.

[00033] Ἐκείνους μὲν ἡ γλῶττα μερισθεῖσα τῆς τόλμης κατέπαυσε, σοφῶς τε ὁμοῦ καὶ φιλανθρώπως τοῦτο τοῦ Θεοῦ κυβερνήσαντος.

[00034] Ὃ δὲ παρ' ἐκείνων ἔλαβεν ὡς κακῶν, τοῦτο τοῖς ἀποστόλοις ὡς ἀγαθοῖς ἐδωρήσατο, καὶ ὁ διὰ γλώττης κολάσας τοὺς ἀσεβεῖς, διὰ γλώττης τοὺς ἁγίους ἐδόξασε·

[00035] καὶ οἱ τοῦ λόγου διάκονοι τὰς τοῦ λόγου μορφὰς ὑποδέχονται, οὐ πρὸς ἐπίδειξιν τῆς χάριτος ἀπολαύσαντες, ἀλλ' ἐπὶ χρείᾳ τὸ δῶρον ἐπιδεξάμενοι.

[00036] Ἔδει γὰρ τοὺς τῆς οἰκουμένης παιδευτὰς τὰ τῆς οἰκουμένης ἐπίστασθαι.

[00037] Ἀσθενὴς γὰρ διδάσκαλος ὁ τοῖς μανθάνουσιν ἀσαφής.

[00038] Ἀλλ' ὡς τηλικούτων μυστηρίων

[00039] Επιτρέπετα

[00040] πιστευόμενοι, ἀναγκαίως πρότερον τῶν γλωσσῶν τὴν γνῶσιν ἐλάμβανον.

[00041] Οὐδὲ γὰρ δύναταί τις μυσταγωγεῖν τὸν μὴ πιστεύσαντα πρότερον·

[00042] πιστεύει δ' ἂν οὐδεὶς, ἀπείρως ἔχων τῶν λεγομένων.

[00043] Ἐντεῦθεν ἡ τοῦ Πνεύματος ἤρξατο χάρις, καὶ διὰ τοῦτο τὰ περὶ τῶν φθόγγων πρότερον ἐθαυματούργησεν.

[00044] Εἰς πᾶσαν γὰρ τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

[00045] Ἔμελλε [52.809] καὶ τὴν οἰκουμένην καταλαμβάνειν, καὶ τοῖς ὁρίοις τῆς γῆς μετρεῖσθαι, καὶ οὐδένα ἀδίδακτον παρεῖναι, οὐδὲ ἀμαθήτευτον παρατρέχειν.

[00046] Ὤφθησαν δὲ ἐν εἴδει πυρὸς μεριζόμεναι γλῶσσαι.

[00047] Καὶ γὰρ τὰ τοῦ πυρὸς ἔμελλον ἐνεργεῖν τῶν ἀποστόλων αἱ γλῶσσαι, καὶ διπλῆν τὴν χρῆσιν δείκνυσθαι·

[00048] καὶ τὸν μὲν διάβολον καταφλέγειν, φωτίζειν δὲ τοὺς καθημένους ἐν σκότει.

[00049] Ὅρα μοι πῦρ παντὸς ἐλαίου τοῖς πιστοῖς προσηνέστερον·

[00050] ὅρα μοι γλῶτταν παντὸς πυρὸς τῷ διαβόλῳ φοβερωτέραν·

[00051] ὅρα μοι γλῶτταν τῆς ἀσεβείας τὰς ἀκάνθας συμφλέγουσαν, καὶ τὰ λήϊα τῆς εὐσεβείας δροσίζουσαν·

[00052] ὅρα μοι δώδεκα μαθητὰς ἐξ ἑνὸς διδασκάλου παιδευομένους·

[00053] ὅρα μοι δώδεκα στρατηγοὺς ὑφ' ἑνὶ βασιλεῖ ταττομένους·

[00054] ὅρα μοι δώδεκα φωστῆρας λαμπροὺς ἐκ μιᾶς ἀνατέλλοντας κορυφῆς·

[00055] ὅρα μοι δώδεκα καθαρὰς ἀκτῖνας ἐξ ἑνὸς προϊούσας ἡλίου·

[00056] ὅρα μοι δώδεκα λαμπάδας ἐξ ἑνὸς ἁπτομένας σπινθῆρος·

[00057] ὅρα μοι δώδεκα κλήματα ἐξ ἑνὸς ἁπτομένης ἀμπέλου βλαστήσαντα·

[00058] ὅρα μοι δώδεκα κοφίνους ἐκ μιᾶς πληρουμένους τραπέζης·

[00059] ὅρα μοι δώδεκα ποταμοὺς ἐκ μιᾶς προφερομένους πηγῆς·

[00060] ὅρα μοι δώδεκα γλώττας ἐκ μιᾶς χάριτος φθεγγομένας.

[00061] Καὶ μὴ νομίσῃς αὐτοὺς μεθύειν, μηδὲ γλεύκους εἶναι μεστοὺς, μηδὲ ὑβρίσῃς ἀπιστίᾳ τὸ δῶρον, μηδὲ μιμήσῃ τοὺς καταράτους, μηδὲ προσείπῃς μέθην

τοῦ Πνεύματος τὴν ἐνέργειαν.

[00062] Μέθη μὲν γένη γλωσσῶν οὐκ οἶδε χαρίζεσθαι, ἀλλὰ καὶ τὴν οὖσαν ἑκάστῳ δεσμεῖ, καὶ παράφρονα ἀπεργάζεται, καὶ κόπτει τοῦ λόγου τὸν δρόμον, καὶ καθάπερ ἐν πέτραις τῷ σκότῳ βαδίζουσα τοῖς ὀδοῦσι προσπταίει·

[00063] καὶ νῦν ἔχει τὴν διάνοιαν, καὶ ταραχὴν ἐμποιεῖ, καὶ φαντασίαν ἐργάζεται, καὶ περιτέμνει τῶν συλλαβῶν.

[00064] Καὶ ἔστιν ἡ μέθη ὄναρ ἐγρηγορότος, καὶ ἐνύπνιον οὐ καθεύδοντος, καὶ μανία διψῶσα, καὶ δαίμων πεινώμενος, καὶ διάβολος ἐγκαθήμενος οἴνῳ, καὶ λῃστὴς ἐν συμποσίοις λοχῶν, καὶ τὸν λογισμὸν καταφλέγων ἀκράτῳ, καὶ φάρμακον τῆς ἀθυμούσης ψυχῆς δηλητήριον ἐργαζόμενος.

[00065] Ταῦτα ἡ μέθη πέφυκεν ἐμποιεῖν.

[00066] Ταῦτα τοὺς ἀποστόλους ἐσυκοφάντουν οἱ δυσσεβεῖς·

[00067] καὶ οὐδὲν θαυμαστόν.

[00068] Οἱ νήφοντες μεθύειν τοῖς Ἰουδαίοις ἐδόκουν·

[00069] πᾶσαι [52.810] γὰρ ταῖς τῶν ἁγίων ἐνετράπησαν ὕβρεσι, καὶ τοὺς προφήτας ἐχλεύαζον ὡς μεθύοντας.

[00070] Κἂν ἀρνήσωνται, λέγωμεν πρὸς αὐτούς·

[00071] Μὴ οὐκ ἔστι ταῦτα, υἱοὶ Ἰσραήλ;

[00072] λέγει Κύριος.

[00073] Καὶ ἐποτίζετε τοὺς ἡγιασμένους μου οἶνον, καὶ τοῖς προφήταις ἐνετέλλεσθε λέγοντες·

[00074] Μὴ προφητεύετε.

[00075] Ἐγὼ δὲ μεθύειν μὲν αὐτοὺς καὶ αὐτὸς ὁμολογῶ, ἀλλ' οὐ τὴν μέθην ἣν λέγεις αὐτὸς, ἀλλὰ τὴν θειοτέραν καὶ νοερὰν ἐκείνην, ἧς ὁ πεπωκὼς σοφίας ἐμπίπλαται, ἧς ὁ πεπωκὼς ἔῤῥωται τὴν διάνοιαν, ἧς ὁ πεπωκὼς ἐγρήγορε (σιξ) καὶ νήφει πρὸς ἀρετὴν, ἧς ὁ πεπωκὼς ἐρᾷν μανθάνει Θεοῦ, ἧς ὁ πεπωκὼς οὐ μὴ διψήσῃ εἰς τὸν αἰῶνα, ἧς ὁ πεπωκὼς μαίνεται μετὰ Παύλου, καὶ παντὸς πυρὸς καὶ σιδήρου κατατολμᾷ, καὶ τοῖς κινδύνοις ἐπιπηδᾷ, καὶ πᾶσαν συμφορὰν ὡς εὐφροσύνην ἀσπάζεται, καὶ ταῖς λοιδορίαις ὡς εὐφημίαις ἀγάλλεται, καὶ ταῖς ὕβρεσιν ὡς ἐπαίνοις ἐγκαλλωπίζεται, καὶ τοῖς ὑπὲρ τοῦ Σωτῆρος δεσμοῖς ὡς ἐπὶ τοῖς βασιλικοῖς στεφάνοις ἀβρύνεται.

[00076] Οὗτος ὁ κρατὴρ τοὺς ἀποστόλους ἐμέθυσε·

[00077] τοῦτο τὸ ποτήριον οἱ τοῦ Σωτῆρος ἔπιον μαθηταὶ, καὶ τὴν καλλίστην ἐμεθύσθησαν μέθην, καὶ τῆς ἁγίας τραπέζης ἐνεφορήθησαν, καὶ λέγουσι μετὰ τοῦ μακαρίου Δαυῒδ·

[00078] Ἡτοίμασας ἐνώπιόν μου τράπεζαν, ἐξ ἐναντίας τῶν θλιβόντων με·

[00079] ἐλίπανας ἐν ἐλαίῳ τὴν κεφαλήν μου, καὶ τὸ ποτήριόν σου μεθύσκον με ὡσεὶ κράτιστον, καὶ τὸ ἔλεός σου καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.

[00080] Επιτρέπετα

[00081] Ὁ γὰρ ἐκ τούτου τοῦ ποτηρίου πίνων νήφει μὲν ἐν Χριστῷ, μεθύειν δὲ τοῖς ἀνοήτοις δοκεῖ, τὰ τοῦ Σωτῆρος φρονῶν.

[00082] Τοῦτον καὶ ἡμῖν ὁ Δεσπότης Χριστὸς ἐξ αἵματος ἐκέρασε τὸν κρατῆρα, καὶ πολλοὺς ἡμῖν συνεκάλεσε δαιτυμόνας, καὶ τῶν εὐαγγελικῶν ἰχθύων ἀπείρους συνεκάλεσε, καὶ τοῦ Πέτρου τὴν σαγήνην ἐπλήρωσε, καὶ γέγονεν αὐτῷ τὰ τῆς θεωρίας ἐκ παραδόξου, καὶ τὴν ἁλιείαν αὐτῷ λαμπροτέραν ἐποίησεν ὁ χειμών·

[00083] καὶ οὓς οὐκ ἐθήρευσε πείθων, τούτους φοβηθέντας ἐζώγρησεν, ἀστραπῆς αὐτῷ πρὸς τὴν ἄγραν συλλαμβανομένης.

[00084] Ἀλλὰ μηδεὶς ὕβριν τοῦτο τῆς νέας ἀγέλης ὀνομαζέτω, εἰ δι' ἀστραπῆς ἐθηράθησαν·

[00085] εἴωθε γὰρ ὁ Χριστὸς τοὺς λακτίζοντας πώλους δι' ἀστραπῆς χαλινοῦν.

[00086] Καὶ ὅστις οἶδε τοῦ μακαρίου Παύλου τὴν κλῆσιν, ἀγάλλεται μετὰ τοῦ Παύλου κληθεὶς, καὶ τὸν Δεσπότην Χριστὸν δι' ἀστραπῆς θεασάμενος, γίνεται Χριστοῦ μαθητής.

[00087] Αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00088] Ἀμήν.

[00089] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**
**0345-0407 - Iohannes Chrysostomus - In pentecosten Sermo 2**
**Litterarum Omnium Conspectus: 109 Litterae, quae repetitae sunt in 6,448 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 479 | Α | 0913 | 1 |
| β | 0946 | 43 | Β | 0914 | 0 |
| γ | 0947 | 129 | Γ | 0915 | 1 |
| δ | 0948 | 135 | Δ | 0916 | 0 |
| ε | 0949 | 319 | Ε | 0917 | 4 |
| ζ | 0950 | 28 | Ζ | 0918 | 0 |
| η | 0951 | 93 | Η | 0919 | 0 |
| θ | 0952 | 82 | Θ | 0920 | 3 |
| ι | 0953 | 250 | Ι | 0921 | 0 |
| κ | 0954 | 210 | Κ | 0922 | 10 |
| λ | 0955 | 197 | Λ | 0923 | 1 |
| μ | 0956 | 202 | Μ | 0924 | 6 |
| ν | 0957 | 488 | Ν | 0925 | 0 |
| ξ | 0958 | 23 | Ξ | 0926 | 0 |
| ο | 0959 | 479 | Ο | 0927 | 5 |
| π | 0960 | 197 | Π | 0928 | 13 |
| ρ | 0961 | 248 | Ρ | 0929 | 0 |
| ς | 0962 | 350 | • | 0930 | 0 |
| σ | 0963 | 215 | Σ | 0931 | 3 |
| τ | 0964 | 464 | Τ | 0932 | 8 |
| υ | 0965 | 130 | Υ | 0933 | 0 |
| φ | 0966 | 65 | Φ | 0934 | 0 |
| χ | 0967 | 30 | Χ | 0935 | 6 |
| ψ | 0968 | 4 | Ψ | 0936 | 0 |
| ω | 0969 | 72 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 1 | | | 0 |
| ῥ | 8165 | 4 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 70 | έ | 8051 | 83 | ή | 8053 | 40 | ί | 8055 | 95 | ό | 8057 | 66 | ύ | 8059 | 53 | ώ | 8061 | 24 |
| ὰ | 8048 | 93 | ὲ | 8050 | 33 | ὴ | 80852 | 46 | ὶ | 8054 | 105 | ὸ | 8056 | 51 | ὺ | 8058 | 27 | ὼ | 8060 | 11 |
| ᾶ | 8118 | 10 | | | 0 | ῆ | 8134 | 64 | ῖ | 8150 | 43 | | | 0 | ῦ | 8166 | 52 | ῶ | 8182 | 43 |
| ἀ | 7936 | 72 | ἐ | 7952 | 83 | ἠ | 7968 | 4 | ἰ | 7984 | 21 | ὀ | 8000 | 2 | ὐ | 8016 | 42 | ὠ | 8032 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ἁ | 7937 | 9 | ἑ | 7953 | 8 | ἡ | 7969 | 13 | ἱ | 7985 | 11 | ὁ | 8001 | 27 | ὑ | 8017 | 6 | ὡ | 8033 | 13 |
| ἂ | 7938 | 2 | ἒ | 7954 | 0 | ἢ | 7970 | 0 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 1 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 1 | ἳ | 7987 | 0 | ὃ | 8003 | 0 | ὓ | 8019 | 1 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 6 | ἔ | 7956 | 11 | ἤ | 7972 | 1 | ἴ | 7988 | 3 | ὄ | 8004 | 1 | ὔ | 8020 | 3 | ὤ | 8036 | 1 |
| ἅ | 7941 | 1 | ἕ | 7957 | 0 | ἥ | 7973 | 0 | ἵ | 7989 | 1 | ὅ | 8005 | 12 | ὕ | 8021 | 3 | ὥ | 8037 | 0 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 3 | ἶ | 7990 | 5 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 6 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 0 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 3 | | | 0 | ῃ | 8131 | 7 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 9 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 3 | | | 0 | ῇ | 8135 | 2 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 10 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In pentecosten Sermo 2**

**Verborum Omnium Conspectus: 644Verba, quae repetita sunt in 3,491,902 occasionibus**

---

**ὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰὰ** [00001]
**ἁβρύνεται** [00075]
**ἀγαθοῖς** [00034]
**ἀγαθὸς** [00005]
**ἀγαθῷ** [00005]
**ἀγάλλεται** [00075] [00086]
**ἀγέλης** [00084]
**ἁγίας** [00077]
**ἁγίους** [00034]
**ἁγίων** [00069]
**ἀγνωσίαις** [00025]
**ἄγραν** [00083]
**Ἀδιαίρετος** [00006]
**ἀδίδακτον** [00045]
**ἀθυμούσης** [00064]
**αἱ** [00047]
**αἵματος** [00082]
**αἰῶνα** [00075]
**αἰῶνας** [00087]
**αἰώνων** [00087]
**ἀκάνθας** [00051]
**ἀκατάληπτον** [00028]
**ἀκοῆς** [00022]
**ἀκούοντα** [00025]
**ἀκράτῳ** [00064]
**ἀκροατῶν** [00022]
**ἀκτῖνας** [00055]
**ἀληθὴς** [00003]
**ἁλιέας** [00017]

**ἁλιείαν** [00082]
**ἀλλ** [00021] [00023] [00035] [00075]
**Ἀλλ** [00008] [00038]
**ἀλλὰ** [00005] [00010] [00031] [00032] [00062] [00075]
**Ἀλλὰ** [00084]
**ἀλλήλοις** [00025]
**ἀλλήλων** [00024]
**ἀλογίστων** [00025]
**ἀμαθήτευτον** [00045]
**Ἀμήν** [00088]
**ἀμπέλου** [00057]
**ἂν** [00042]
**ἀναβὰς** [00007]
**ἀνάβασιν** [00031]
**ἀνάγειν** [00032]
**ἀναγκαίως** [00040]
**ἀνάγουσιν** [00032]
**ἀνατέλλοντας** [00054]
**ἀνῆλθεν** [00008]
**ἀνὴρ** [00020]
**ἄνθρωποι** [00024]
**ἄνθρωπος** [00008]
**ἀνιόντι** [00005]
**ἀνοήτοις** [00081]
**ἄξιος** [00029]
**ἀπαρτίζουσα** [00017]
**ἀπείρους** [00016] [00082]
**ἀπείρως** [00042]
**ἀπεργάζεται** [00062]
**ἀπέστειλε** [00010]
**ἀπέστη** [00007]
**ἀπετελεῖτο** [00011]
**ἀπέφυγεν** [00022]
**ἀπιστίᾳ** [00061]
**ἀπολαύειν** [00029]
**ἀπολαύσαντες** [00035]
**ἀπονοίας** [00026]
**ἀποστόλοις** [00010] [00034]
**ἀποστόλους** [00066] [00076]
**ἀποστόλων** [00047]
**ἁπτομένας** [00056]
**ἁπτομένης** [00057]
**ἀρετὴν** [00075]
**ἀρετῆς** [00032]
**ἅρματα** [00032]
**ἀρνήσωνται** [00070]
**ἁρπάζειν** [00029]
**ἀσαφής** [00037]
**ἀσεβείας** [00051]
**ἀσεβεῖς** [00034]
**Ἀσθενὴς** [00037]
**ἀσπάζεται** [00075]
**ἀστραπῆς** [00083] [00084] [00085] [00086]
**αὔρας** [00011]
**αὐτοῖς** [00013]
**αὐτὸς** [00075] [00075]
**αὐτοὺς** [00061] [00075]
**αὐτούς** [00070]
**Αὐτῷ** [00087]
**αὐτῷ** [00082] [00082] [00083]
**αὐτῶν** [00022] [00044]
**ἄφιξιν** [00005]
**ἄφιξις** [00011]
**ἀψευδὴς** [00005]

**βαδίζουσα** [00062]
**βάρβαρον** [00022]
**βασιλεῖ** [00053]
**βασιλείας** [00031]
**βασιλεύει** [00010]
**βασιλικοῖς** [00075]
**βιάζῃ** [00028]
**βιαίας** [00011]
**βίος** [00032]
**βλαστήσαντα** [00057]
**βουλῆς** [00025]
**βροντῆς** [00011] [00012]

**Γαλιλαῖος** [00020]
**γὰρ** [00003] [00005] [00006] [00012] [00019] [00024] [00025] [00032] [00036] [00037] [00041] [00044] [00047] [00069] [00081] [00085]
**γάρ** [00026]
**γεγένηνται** [00019]
**γέγονεν** [00082]
**γένη** [00010] [00062]
**γενόμενος** [00005]
**γῆν** [00010] [00044]
**γῆς** [00029] [00045]
**γίνεται** [00086]
**γινόμενον** [00014]
**γλεύκους** [00061]
**γλῶσσαι** [00013] [00046] [00047]
**γλώσσας** [00016]
**γλωσσῶν** [00010] [00040] [00062]
**γλῶττα** [00033]
**γλῶτταν** [00023] [00050] [00051]
**γλώττας** [00024] [00060]
**γλώττης** [00025] [00034] [00034]
**γνῶσιν** [00040]

**δ** [00042]
**δαίμων** [00064]
**δαιτυμόνας** [00082]
**Δαυῒδ** [00077]
**δὲ** [00005] [00009] [00014] [00018] [00019] [00034] [00046] [00048] [00075] [00081]
**δεδοικὼς** [00031]
**δείκνυσθαι** [00047]
**δεσμεῖ** [00062]
**δεσμοῖς** [00075]
**Δεσπότην** [00086]
**Δεσπότης** [00005] [00082]

Δεσπότου [00004] [00005]
δηλητήριον [00064]
δι [00084] [00085] [00086]
διὰ [00034] [00034] [00043]
διάβολον [00048]
διάβολος [00064]
διαβόλῳ [00050]
διάκονοι [00035]
διαμεριζόμεναι [00013]
διάνοιαν [00063] [00075]
διαστῆναι [00025]
διδάσκαλοι [00019]
διδάσκαλος [00005] [00037]
διδασκάλου [00052]
διδασκάλῳ [00005]
διδάσκουσα [00017]
δικαιοσύνης [00032]
διπλῆν [00047]
διψήσῃ [00075]
διψῶσα [00064]
δοκεῖ [00081]
δόξα [00087]
δοῦλος [00005]
δούλου [00005]
δρόμον [00062]
δροσίζουσαν [00051]
δύναταί [00041]
δυσσεβεῖς [00066]
δώδεκα [00052] [00053] [00054] [00055] [00056] [00057] [00058] [00059] [00060]
δωρεὰν [00003]
δῶρον [00035] [00061]
δωρούμενον [00016]

ἑαυτῷ [00023]
ἐγκαθήμενος [00064]
ἐγκαλλωπίζεται [00075]
ἐγρήγορε [00075]
ἐγρηγορότος [00064]
ἐγχειρημάτων [00025]
Ἐγὼ [00075]
Ἔδει [00025] [00036]
ἐδόκουν [00068]
ἐδόξασε [00034]
ἐδωρήσατο [00034]
ἐζώγρησεν [00083]
ἐθαυματούργησεν [00043]
ἐθηράθησαν [00084]
ἐθήρευσε [00083]
ἔθνους [00019] [00023]
εἰ [00084]
εἴδει [00046]
εἰκόνας [00021]
εἰλήφαμεν [00023]
εἶναι [00061]
Εἰς [00044]
εἰς [00016] [00016] [00032] [00075] [00087]
εἶχεν [00021]
εἴωθε [00085]
ἐκ [00054] [00058] [00059] [00060] [00081] [00082]
ἑκάστῳ [00062]
ἐκείνην [00032] [00075]
Ἐκείνους [00033]
ἐκείνων [00034]
ἐκέρασε [00082]
ἔλαβεν [00034]
ἐλαίου [00049]
ἐλαίῳ [00079]
ἐλάμβανον [00040]
Ἐλαμιτῶν [00020]
ἔλεός [00079]
ἐλίπανας [00079]
ἐμέθυσε [00076]
ἐμεθύσθησαν [00077]
Ἔμελλε [00045]
ἔμελλον [00047]
ἐμερίσθη [00024]
ἐμιμεῖτο [00011]
ἐμοῦ [00031]
ἐμπίπλαται [00075]
ἐμποιεῖ [00063]
ἐμποιεῖν [00065]
ἐν [00046] [00048] [00062] [00064] [00079] [00081]
ἐναντίας [00078]
ἐνέργειαν [00061]
ἐνεργεῖν [00047]
ἐνετέλλεσθε [00073]
ἐνετράπησαν [00069]
ἐνεφορήθησαν [00077]
ἑνὶ [00053]
ἐνόμιζε [00022]
ἑνὸς [00052] [00055] [00056] [00057]
ἑνός [00019]
Ἐντεῦθεν [00043]
ἐνύπνιον [00064]
ἐνώπιόν [00078]
ἐξ [00052] [00055] [00056] [00057] [00078] [00082]
ἐξαίφνης [00011]
ἐξῆλθεν [00044]
ἐπαίνοις [00075]
ἐπακούων [00030]
Ἐπεδήμησεν [00004]
Ἐπεφοίτησεν [00002]
ἐπὶ [00012] [00021] [00035] [00075]
Ἐπὶ [00024]
ἐπίδειξιν [00035]
ἐπιδεξάμενοι [00035]
ἐπικαθήμενον [00015]
ἔπιον [00077]
ἐπιπηδᾷ [00075]
ἐπίστασθαι [00036]
ἐπίστατο [00020]
Επιτρέπετα [00039] [00080] [00089]
ἐπλήρωσε [00010] [00082]
ἐποίησεν [00082]

**ἐποτίζετε** [00073]
**ἐπουράνιον** [00016]
**ἐρᾷν** [00075]
**ἐργάζεται** [00063]
**ἐργαζόμενος** [00064]
**ἔῤῥωται** [00075]
**ἐρχόμενος** [00007]
**ἐρχομένῳ** [00005]
**ἔστι** [00071]
**ἔστιν** [00064]
**ἐσυκοφάντουν** [00066]
**εὐαγγελικῶν** [00082]
**εὐσεβείας** [00023] [00051]
**εὐφημίαις** [00075]
**εὐφροσύνην** [00075]
**ἐφθέγγετο** [00020]
**ἐφιζάνουσα** [00015]
**ἔχει** [00063]
**ἐχλεύαζον** [00069]
**ἔχων** [00042]

**ζωῆς** [00079]

**ἡ** [00002] [00006] [00011] [00033] [00043] [00064] [00065] [00087]
**ἡγιασμένους** [00073]
**ἠγνόει** [00020]
**ἠγνόησαν** [00024]
**ἠκούετο** [00011] [00023]
**ἡλίου** [00055]
**ἡμέρας** [00079]
**ἡμῖν** [00082] [00082]
**ἣν** [00075]
**ἦν** [00014]
**ἤρξατο** [00043]
**ἧς** [00075] [00075] [00075] [00075] [00075] [00075]
**ἦσαν** [00019]
**Ἡτοίμασας** [00078]
**ἦχος** [00011]

**θαυμαστόν** [00067]
**θεασάμενος** [00086]
**θειοτέραν** [00075]
**θεογνωσίας** [00032]
**θεομάχου** [00025]
**Θεὸς** [00008]
**Θεοῦ** [00033] [00075]
**θεωρίας** [00082]
**θλιβόντων** [00078]

**ἰδέας** [00016]
**Ἰουδαίοις** [00068]
**Ἰσραήλ** [00071]
**ἰχθύων** [00082]

**καθάπερ** [00062]
**καθαρὰς** [00055]
**καθαρώτερος** [00032]
**καθεύδοντος** [00064]
**καθημένους** [00048]
**καίουσα** [00015]
**κακῶν** [00034]
**κακῶς** [00025]
**καλλίστην** [00077]
**Κἂν** [00070]
**καρπόν** [00023]
**καταδιώξει** [00079]
**καταλαβεῖν** [00028]
**καταλαμβάνειν** [00045]
**καταλύω** [00031]
**καταράτους** [00061]
**κατασκευῆς** [00024]
**κατατολμᾷ** [00075]
**καταυγάζει** [00010]
**καταφλέγειν** [00048]
**καταφλέγων** [00064]
**κατέλιπεν** [00009]
**κατέπαυσε** [00033]
**κατῆλθε** [00009]
**κέρδος** [00026]
**κεφαλήν** [00079]
**κηδόμενος** [00031]
**κηρυττόμενος** [00004]
**κινδύνοις** [00075]
**κληθεὶς** [00086]
**κλήματα** [00057]
**κλῆσιν** [00086]
**κολάσας** [00034]
**κόπτει** [00062]
**κοπτομένου** [00031]
**κορυφῆς** [00054]
**κοφίνους** [00058]
**κρατὴρ** [00076]
**κρατῆρα** [00082]
**κράτιστον** [00079]
**κυβερνήσαντος** [00033]
**Κύριος** [00072]

**λαβεῖν** [00025]
**λακτίζοντας** [00085]
**λαμπάδας** [00056]
**λαμπροτέραν** [00082]
**λαμπροὺς** [00054]
**λέγει** [00072]
**λέγειν** [00025]
**λέγεις** [00075]

**λεγομένων** [00042]
**λέγοντα** [00025]
**λέγοντες** [00073]
**λέγουσι** [00077]
**λέγωμεν** [00070]
**ληστὴς** [00064]
**λῄϊα** [00051]
**λίθων** [00032]
**λογισμὸν** [00064]
**Λόγος** [00008]
**λόγου** [00035] [00035] [00062]
**λόγους** [00022]
**λόγῳ** [00025]
**λοιδορίαις** [00075]
**λοχῶν** [00064]

**μαθηταὶ** [00077]
**μαθητὰς** [00052]
**μαθητής** [00086]
**μαίνεται** [00075]
**μακαρίου** [00077] [00086]
**Μᾶλλον** [00018]
**μᾶλλον** [00005]
**μανθάνει** [00075]
**μανθάνουσιν** [00037]
**μανία** [00064]
**μάτην** [00025] [00031]
**με** [00078] [00079] [00079]
**μεγαλουργίας** [00027]
**μέγεθος** [00011]
**Μέθη** [00062]
**μέθη** [00064] [00065]
**μέθην** [00061] [00075] [00077]
**μεθύειν** [00061] [00068] [00075] [00081]
**μεθύοντας** [00069]
**μεθύσκον** [00079]
**μὲν** [00019] [00024] [00033] [00048] [00062] [00075] [00081]
**μεριζόμεναι** [00046]
**μεριζόμενον** [00016]
**Μερίζω** [00031]
**μερισθεῖσα** [00033]
**μεστοὺς** [00061]
**μεταβολῇ** [00025]
**μετεωρολογεῖς** [00030]
**μετρεῖσθαι** [00045]
**μηδὲ** [00025] [00029] [00030] [00061] [00061] [00061] [00061]
**μηδεὶς** [00084]
**Μήδων** [00020]
**μηνυτὴς** [00005]
**μήτε** [00025] [00025]
**μιᾶς** [00054] [00058] [00059] [00060]
**μιμήσῃ** [00061]
**μοι** [00049] [00050] [00051] [00052] [00053] [00054] [00055] [00056] [00057] [00058] [00059] [00060]
**μορφὰς** [00035]
**μου** [00073] [00078] [00079] [00079]
**μυρίας** [00016]
**μυσταγωγεῖν** [00041]
**μυστηρίων** [00038]

**νέας** [00084]
**νήφει** [00075] [00081]
**νήφοντες** [00068]
**νοερὰν** [00075]
**νόθους** [00022]
**νομίσῃς** [00061]
**νῦν** [00063]

**ὁ** [00003] [00004] [00004] [00005] [00008] [00009] [00029] [00030] [00034] [00037] [00044] [00075] [00075] [00075] [00075] [00075] [00075] [00076] [00082] [00082] [00085]
**Ὁ** [00081]
**Ὃ** [00034]
**ὁδὸν** [00032]
**ὀδοῦσι** [00062]
**Οἱ** [00019] [00068]
**οἱ** [00018] [00019] [00024] [00035] [00066] [00077]
**οἶδε** [00062] [00086]
**οἰκοδομὴ** [00032]
**οἰκονομίαν** [00010]
**οἰκουμένην** [00045]
**οἰκουμένης** [00019] [00023] [00036] [00036]
**οἶνον** [00073]
**οἴνῳ** [00064]
**ὁμολογῶ** [00075]
**ὁμόνοιαν** [00025]
**ὁμοτίμου** [00005]
**ὁμοῦ** [00033]
**ὄναρ** [00064]
**ὀνομαζέτω** [00084]
**ὅρα** [00050] [00051] [00052] [00053] [00054] [00055] [00056] [00057] [00058] [00059] [00060]
**Ὅρα** [00049]
**ὁρίοις** [00045]
**ὅστις** [00086]
**οὐ** [00005] [00007] [00009] [00031] [00035] [00064] [00075] [00075]
**Οὐδὲ** [00032] [00041]
**οὐδὲ** [00022] [00031] [00045]
**οὐδεὶς** [00022] [00042]
**οὐδὲν** [00018] [00067]
**οὐδένα** [00045]
**οὐκ** [00020] [00062] [00071] [00083]
**οὐρανὸν** [00029] [00032]
**οὐρανοὺς** [00009]
**οὓς** [00083]
**οὖσαν** [00062]
**οὔτε** [00007] [00007]
**Οὗτος** [00076]

**παιδευομένους** [00052]
**παιδευταί** [00019]
**παιδευτὰς** [00036]

**παντὸς** [00023] [00049] [00050] [00075]
**παρ** [00034]
**παρὰ** [00004]
**παραδόξου** [00082]
**Παράκλητος** [00004] [00009]
**παρατρέχειν** [00045]
**παράφρονα** [00062]
**παραχωρῶν** [00005]
**παρεῖναι** [00045]
**πάρεστι** [00008]
**παρῆν** [00007]
**Πάρθων** [00020]
**παρουσίαν** [00005]
**παρῶν** [00005]
**πᾶσαι** [00069]
**πᾶσαν** [00044] [00075]
**πάσας** [00079]
**πάσης** [00021] [00023]
**Πατρὶ** [00010]
**Παύλου** [00075] [00086] [00086]
**πείθων** [00083]
**πεινώμενος** [00064]
**πεῖραν** [00025]
**πεπωκὼς** [00075] [00075] [00075] [00075] [00075] [00075]
**περὶ** [00043]
**περιεγίνετο** [00012]
**περιτέμνει** [00063]
**περιφέρων** [00023]
**πέτραις** [00062]
**Πέτρου** [00082]
**πέφυκεν** [00032] [00065]
**πηγῆς** [00059]
**πίνων** [00081]
**πιστεύει** [00042]
**πιστευόμενοι** [00040]
**πιστεύσαντα** [00041]
**πιστοῖς** [00049]
**πληρουμένους** [00058]
**πλησίον** [00030]
**Πνεύματος** [00002] [00003] [00011] [00043] [00061]
**ποθεινόν** [00014]
**πολίτης** [00023]
**πολλοὶ** [00032]
**πολλοὺς** [00082]
**πολυχειρίᾳ** [00032]
**πονοῦντος** [00031]
**ποταμοὺς** [00059]
**ποτήριόν** [00079]
**ποτήριον** [00077]
**ποτηρίου** [00081]
**πρᾶξιν** [00031]
**προλέγων** [00005]
**προμηνύσας** [00005]
**πρὸς** [00032] [00035] [00070] [00075] [00083]
**προσαπολλύναι** [00025]
**προσείπῃς** [00061]
**προσηνέστερον** [00049]
**προσπταίει** [00062]
**πρότερον** [00040] [00041] [00043]
**προφερομένους** [00059]
**προφήταις** [00073]
**προφήτας** [00069]
**προφητεύετε** [00074]
**προϊούσας** [00055]
**πρῶτον** [00023]
**πτέρυγες** [00032]
**πῦρ** [00015] [00016] [00016] [00016] [00049]
**πύργος** [00032]
**πύργου** [00024]
**πυρὸς** [00046] [00047] [00050] [00075]
**πυρός** [00013]
**πώλους** [00085]

**ῥημάτων** [00016] [00025]
**ῥήτορα** [00017]

**σαγήνην** [00082]
**σὴν** [00031]
**σιδήρου** [00075]
**σιξ** [00075]
**σκότει** [00048]
**σκότῳ** [00062]
**σκυτοτόμον** [00017]
**σοι** [00026] [00027] [00031]
**σοῦ** [00031]
**σου** [00079] [00079]
**σοφίαν** [00016]
**σοφίας** [00075]
**σοφισταί** [00018]
**σοφιστεύειν** [00017]
**σοφῶς** [00033]
**σπινθῆρος** [00056]
**στεφάνοις** [00075]
**στόματος** [00021]
**στρατηγοὺς** [00053]
**συγκατιὼν** [00005]
**συλλαβῶν** [00063]
**συλλαμβανομένης** [00083]
**συμπαρόντι** [00005]
**συμποσίοις** [00064]
**συμπράξαντας** [00025]
**συμφλέγουσαν** [00051]
**συμφορὰν** [00075]
**σὺν** [00010]
**συνανιὼν** [00005]
**συναχθῆναι** [00025]
**συνεκάλεσε** [00082] [00082]
**συνιέναι** [00025]
**συντιθέμενος** [00032]
**Σωτῆρος** [00075] [00077] [00081]

τὰ [00020] [00020] [00020] [00024] [00036] [00043] [00047] [00051] [00081] [00082]
ταῖς [00069] [00075] [00075]
ταραχὴν [00063]
τὰς [00024] [00035] [00051] [00079]
ταττομένους [00053]
Ταῦτα [00065] [00066]
ταῦτα [00071]
τε [00033]
τέλος [00027]
τεμνόμενον [00016]
τῇ [00025]
τηλικούτων [00038]
τὴν [00003] [00005] [00010] [00010] [00016] [00025] [00025] [00031] [00031] [00031] [00032] [00040] [00044] [00045] [00047] [00061] [00062] [00063] [00075] [00075] [00075] [00077] [00079] [00082] [00082] [00083] [00086]
τῆς [00006] [00012] [00019] [00022] [00023] [00023] [00024] [00024] [00025] [00025] [00026] [00027] [00029] [00030] [00031] [00033] [00035] [00036] [00036] [00045] [00051] [00051] [00064] [00077] [00079] [00082] [00084]
Τί [00026] [00028] [00029] [00030]
τί [00027]
τινος [00019]
τις [00041]
τὸ [00014] [00014] [00026] [00027] [00028] [00035] [00061] [00077] [00079] [00079]
τοῖς [00010] [00034] [00037] [00045] [00049] [00062] [00068] [00073] [00075] [00075] [00075] [00081]
τόλμης [00033]
τὸν [00017] [00029] [00041] [00048] [00062] [00064] [00075] [00082] [00086]
τοσοῦτον [00018]
τοῦ [00002] [00003] [00004] [00011] [00021] [00024] [00030] [00031] [00033] [00035] [00035] [00043] [00047] [00061] [00062] [00075] [00077] [00077] [00081] [00081] [00082] [00086] [00086]
τοὺς [00009] [00012] [00017] [00022] [00025] [00025] [00034] [00034] [00036] [00048] [00061] [00066] [00069] [00073] [00076] [00085] [00087]
τοῦτο [00033] [00034] [00043] [00077] [00084]
Τοῦτον [00082]
τοῦτον [00023]
τούτου [00081]
τούτους [00083]
τράπεζαν [00078]
τραπέζης [00058] [00077]
Τριάδος [00006]
τύπον [00011]
τῷ [00010] [00050] [00062]
τῶν [00020] [00020] [00022] [00025] [00040] [00042] [00043] [00047] [00063] [00069] [00078] [00082] [00087]

ὕβρεσι [00069]
ὕβρεσιν [00075]
ὕβριν [00084]
ὑβρίσης [00061]
υἱοὶ [00071]
υἱοὺς [00012]
ὑπὲρ [00031] [00075]
ὑποδέχονται [00035]
ὑποσχόμενος [00003]
ὑφ [00053]

φαινόμενον [00014]
φαντασίαν [00063]
φάρμακον [00064]
φθεγγομένας [00060]
φθόγγος [00044]
φθόγγων [00043]
φιλανθρώπως [00033]
φιλονεικεῖς [00029]
φλέγον [00015]
φλὸξ [00015] [00017]
φοβερὸν [00014]
φοβερωτέραν [00050]
φοβηθέντας [00083]
φοβούμενος [00031]
φρονῶν [00081]
φωνὴν [00031]
φωνῆς [00011] [00021] [00024] [00030]
φωστῆρας [00054]
φωτίζειν [00048]
φωτὸς [00032]

χαλινοῦν [00085]
χαρίζεσθαι [00062]
χάρις [00002] [00006] [00043]
χάριτος [00035] [00060]
χειμὼν [00082]
χρείᾳ [00035]
χρῆσιν [00047]
Χριστὸν [00086]
Χριστὸς [00082] [00085]
Χριστοῦ [00004] [00086]
Χριστῷ [00081]
χρόνους [00025]

ψυχῆς [00064]

ὧν [00029]
ὡς [00008] [00022] [00023] [00034] [00034] [00038] [00069] [00075] [00075] [00075] [00075]
ὡσεὶ [00013] [00079]
ὤφθησαν [00013]